**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 7 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=4

V. 145-166

(ΧΑΙ.) οὐκ ἂν δυναίμην· ἀπίθανός τις εἴμ᾽ ἀεὶ
ἐν τῷ λαλεῖν. ποῖον λέγει[ . . . . . . . . . . . . . . . .]νι;
‹ΣΩ.› οὐ πάνυ φιλάνθρωπον β[λέπειν μ]οι φαίνεται,
μὰ τὸν Δί᾽· ὡς δ᾽ ἐσπούδακ᾽. ἐ[πανάξ]ω βραχὺ
ἀπὸ τῆς θύρας. βέλτιον. ἀλλὰ κ̣[αὶ β]οᾷ̣
μόνος βαδίζων. οὐχ ὑγιαίνειν μοι δοκεῖ.
δέδοικα μέντοι, μὰ τὸν Ἀπόλλω καὶ θεούς,
αὐτόν. τί γὰρ ἄν τις μὴ οὐχὶ τἀληθῆ λέγοι;

ΚΝΗΜΩΝ
εἶτ᾽ οὐ μακάριος ἦν ὁ Περσεὺς κατὰ δύο
τρόπους ἐκεῖνος, ὅτι πετηνὸς ἐγένετο
κοὐδενὶ συνήντα τῶν βαδιζόντων χαμαί,
εἶθ᾽ ὅτι τοιοῦτο κτῆμ᾽ ἐκέκτηθ᾽ ᾧ λίθους
ἅπαντας ἐπόει τοὺς ἐνοχλοῦντας; ὅπερ ἐμοὶ
νυνὶ γένοιτ᾽· οὐδὲν γὰρ ἀφθονώτερον
λιθίνων γένοιτ᾽ ‹ἂν› ἀνδριάντων πανταχοῦ.
νῦν δ᾽ οὐ βιωτόν ἐστι, μὰ τὸν Ἀσκληπιόν.
λαλοῦσ᾽ ἐπεμβαίνοντες εἰς τὸ χωρίον
ἤδη· παρ᾽ αὐτὴν τὴν ὁδὸν γάρ, νὴ Δία,
εἴωθα διατρίβειν· ὃς οὐδ᾽ ἐργάζομαι
τοῦτο τὸ μέρος ‹τοῦ› χωρίου, πέφευγα δὲ
διὰ τοὺς παριόντας. ἀλλ᾽ ἐπὶ τοὺς λόφους ἄνω
ἤδη διώκουσ᾽. ὢ πολυπληθείας ὄχλου.